# TEZAUR LITURGIC

## 11 IUNIE

## +CHIRIL KOGHERAKIS, MITROPOLITUL RHODOSULUI

# PARACLISUL SF.CUVIOS BARNABA DE LA VASA CIPRULUI

**ATENA,2020**


ΑΠΟΣΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ

# 11 ΙΟΥΝΙΟΣ
# ΒΑΡΝΑΒΑΣ ΟΣΙΟΣ
# ΕΝ ΒΑΣῌ ΚΥΠΡΟΥ
# ΠΑΡΑΚΛΗΣΙΣ

**Ποίημα Μητροπολίτου Ῥόδου Κυρίλλου Κογεράκη**

Ὁ Ἱερεὺς ἄρχεται τῆς Παρακλήσεως μὲ τὴν δοξολογικήν ἐκφώνησιν:

*Εὐλογητὸς ὁ Θεός ἡμῶν, πάντοτε, νῦν καὶ ἀεί καὶ εἰς τούς αἰῶνας τῶν αἰώνων.*

Ὁ χορός: *Ἀμήν.*

Ἤ μὴ ὑπάρχοντος Ἱερέως, ἡμεῖς τό:

*Δι᾽ εὐχῶν τῶν Ἁγίων Πατέρων ἡμῶν, Κύριε Ἰησοῦ Χριστέ ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς, Ἀμήν.*

*Ψαλμός ρμβ᾽ (142).*

Καί εὐθύς ψάλλεται τετράκις ἐξ᾽ ὑπαμοιβῆς, μετά τῶν οἰκείων στίχων:

*Θεός Κύριος καὶ ἐπέφανεν ἡμῖν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.*

Στίχ. α᾽. *Ἐξομολογεῖσθε τῷ Κυρίῳ καὶ ἐπικαλεῖσθε τό ὄνομα τό Ἅγιον Αὐτοῦ.*

Στίχ. β᾽. *Πάντα τὰ ἔθνη ἐκύκλωσάν με καὶ τό ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.*

Στίχ. γ᾽. *Παρά Κυρίου ἐγένετο αὕτη καὶ ἔστι θαυμαστή ἐν ὀφθαλμοῖς ἡμῶν.*

*Εἶτα τὸ τροπάριον.*

*Ἦχος δ΄. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.*

Ἐν τῷ σπηλαίῳ ἰσαγγέλως βιώσας, τῆς ὑπὲρ λόγον κατηξίωσαι δόξης, ἐν ταῖς αὐλαῖς Βαρνάβα τοῦ Κυρίου σου, ᾧ νῦν παριστάμενος, σὺν Ἀγγέλων τοῖς δήμοις, καὶ Ὁσίων τάξεις, καὶ Δικαίων χορείαις, μὴ ἐπιλάθῃ Πάτερ τῶν πιστῶς, ἀνευφημούντων τὸν ἔνθεον βίον σου.

*Δόξα. Καὶ νῦν. Θεοτοκίον.*

Οὐ σιωπήσομέν ποτε Θεοτόκε, τὰς δυναστείας Σου λαλεῖν οἱ ἀνάξιοι, εἰμὴ γὰρ Σὺ προΐστασο πρεσβεύουσα, τίς ἡμᾶς ἐῤῥύσατο ἐκ τοσούτων κινδύνων; Τίς δὲ διεφύλαξεν, ἕως νῦν ἐλευθέρους; Οὐκ ἀποστῶμεν Δέσποινα ἐκ Σοῦ, Σοὺς γὰρ δούλους σώζεις ἀεί, ἐκ παντοίων δεινῶν.

*Ψαλμός ν’ (50).*

Εἶτα ὁ Κανών, οὗ ἡ ἀκροστιχίς: *Θεοφόρε Βαρνάβα, τὰς δεήσεις μου δέχου.*

*Ὠδὴ α΄. Ἦχος πλ. Δ΄. Ὑγρὰν διοδεύσας.*

Θεῷ ἐν Ὑψίστοις παρεστηκώς, Ὅσιε Βαρνάβα σὺν Ἀγγέλων ταῖς στρατιαῖς, πρόσδεξαι φωνὰς τὰς ἱκεσίους, τῶν ἱκετῶν σου καὶ δίδου τὴν χάριν σου.

Ἐδὲμ ὁ πολίτης ὁ εὐκλεής, ὕμνοις εὐφημείσθω νῦν Βαρνάβα χαρμονικῶς, θαυμάτων τὰ ῥεῖθρα γὰρ ἐκβλύζει, ὡς τὶς κρουνὸς πολυχεύμων τῆς χάριτος.

Οὐράνιον βίον ὡς νουνεχής, ἐν κόσμῳ Βαρνάβᾳ παναοίδιμε μετελθών, οὐράνωσον δεῦρο τὰς καρδίας, τῶν τῇ πρεσβείᾳ σου πόθῳ προστρέχοντας.

*Θεοτοκίον.*

Φύλαττε πρεσβείαις Σου Μαριάμ, Μῆτερ τοῦ Κυρίου τοὺς γεραίροντας εὐλαβῶς, τὸν θεῖόν Σου τόκον δι᾽ οὗ πάντες, προγονικῆς καταδίκης ἐῤῥύσθημεν.

*ᾨδὴ γ΄. Οὐρανίας ἁψῖδος.*

Οὐρανίων θαλάμων ἐπιτυχὼν Ὅσιε, καὶ τοῖς ἀσωμάτοις Ἀγγέλοις συναγαλλόμενος, ἡμῶν μνημόνευε, τῶν εὐλαβῶς σε τιμώντων, ὡς Ὁσίων καύχημα, καὶ ἐγκαλλώπισμα.

Ῥάβδῳ θείᾳ Βαρνάβα ἀπὸ ψυχῆς δέομαι, τῆς στεῤῥᾶς σου ὄντως πρεσβείας πόῤῥω ἐκδίωξον, τοὺς ἀπειλοῦντάς με, κατασπαρᾶξαι δολίως, ἀοράτους λέοντας, ἀειμακάριστε.

Ἐκτενῶς ὦ Βαρνάβα τῷ Βασιλεῖ πρέσβευε, τῷ δοξάσαντί σε ἐν κόσμῳ θαυμάτων χάρισι, ἵνα τηρήσῃς με, τῶν ἐπικήρων πραγμάτων, ἀληθῶς ἀνώτερον, τῇ μεσιτείᾳ σου.

*Θεοτοκίον.*

Βλέψον Μῆτερ ἱλέῳ καὶ ἱλαρῷ ὄμματι, ἐφ᾽ ἡμᾶς τοὺς πίστει καὶ πόθῳ ἀεὶ γεραίροντας, τὴν ὑπερθαύμαστον, καὶ ἱεράν Σου λοχείαν, δι᾽ οὗ κόσμος σέσωσται, τῆς παραβάσεως.

Διάσωσον, ὡς παῤῥησίαν πλουτήσας Πάτερ Βαρνάβα, τῶν πονηρῶν βουλευμάτων τοῦ ὄφεως, τοὺς εὐφημοῦντας προφρόνως τὴν βιοτήν σου.

Ἐπίβλεψον, ἐν εὐμενείᾳ πανύμνητε Θεοτόκε, ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν, καὶ ἴασαι τῆς ψυχῆς μου τὸ ἄλγος.

*Κάθισμα. Ἦχος β΄. Πρεσβεία θερμή.*

Βαρνάβα Θεοῦ θεράπων γνησιώτατε, Ὁσίων λαμπάς, καὶ μοναζόντων καύχημα, τῶν πιστῶς ὑμνούντων σε, τῇ ἁγίᾳ πρεσβείᾳ σου πρόστηθι, τὴν παῤῥησίαν ἔχεις γὰρ πολλήν, Θεὸν μεγαλύνας τῇ ἀσκήσει σου.

*ᾨδὴ δ΄. Εἰσακήκοα Κύριε.*

Ἀγαπήσας τὸν Κύριον, τὰ ἐν κόσμῳ πάντα σαφῶς ἐμίσησας, καὶ ἐδέξω δι' ἀσκήσεως, Παρακλήτου Βαρνάβα τὴν δύναμιν.

Ῥυπτικαῖς σου δεήσεσι, πλῦνον τὴν ψυχήν μου Βαρνάβα Ὅσιε, ἣν ῥερύπωκα ὁ ἄθλιος, μὴ τηρήσας Χριστοῦ τὰ προστάγματα.

Νοσημάτων καὶ θλίψεων, θεοφόρε Πάτερ ἡμᾶς διάσωσον, ἵνα μέλπομεν γηθόμενοι, ἣν ἐπλούτησας χάριν οὐράνιον.

*Θεοτοκίον.*

Ἀσινεῖς διατήρησον, τῆς τοῦ πολεμίου κακίας ἄχραντε, τοὺς προστρέχοντας τῇ σκέπῃ Σου, καὶ ἀνευφημοῦντάς Σου τὰ θαύματα.

*ᾨδὴ ε΄. Φώτισον ἡμᾶς.*

Βάρει με σφοδρῷ, ἁμαρτίας πιεζόμενον, ἀνακούφισον Βαρνάβα συμπαθῶς, ὡς πλουτήσας παῤῥησίαν πρὸς τὸν Κύριον.

Ἆρον ἀφ᾽ ἡμῶν, τὸ φορτίον τὸ δυσβάστακτον, ὃ ἐπέθηκε ὁ βύθιος ἐχθρός, ὢ Βαρνάβα ὡς πλουτήσας χάριν ἄνωθεν.

Τεῖνον ἐφ᾽ ἡμᾶς, οὗς σου Πάτερ τὸ εὐήκοον, καὶ τὰ πρόσφορα χορήγησον ἡμῖν, ταῖς ἡμῶν ἐπικαμπτόμενος δεήσεσι.

*Θεοτοκίον.*

Ἄξιόν ἐστι, μακαρίζειν Σε τὴν Θεοτόκον, τὴν τοὺς εὐσεβεῖς διασώζουσα, τῶν ἐν βίῳ ἐπωδύνων συμφορῶν.

*ᾨδὴ στ΄. Ἱλάσθητί μοι Σωτήρ.*

Συντήρει πάντας ἡμᾶς, τοῖς ἐφόδοις τοῦ δράκοντος, ἀτρώτους ὡς συμπαθής, Βαρνάβα μακάριε, σὲ γὰρ ἱκετεύομεν, φίλον σε Κυρίου, γνησιώτατον γινώσκοντες.

Δωρούμενος τοῖς πιστοῖς, μὴ παύσῃ Πάτερ τὰ κρείττονα, καὶ σκέπειν πάντας ἡμᾶς, ἐν βίου ταῖς θλίψεσι, θερμῶς γὰρ προσπίπτομεν, σοὶ τῷ τῷ Κυρίῳ, διὰ ἀσκήσεως δοξάσαντι.

Ἐλέους σου τοὺς κρουνούς, Χριστὲ τῷ δούλῳ Σου ἄνοιξον, Βαρνάβα ταῖς δραστικαῖς, πρεσβείαις φιλάνθρωπε, τοῖς πόνοις ἀσκήσεως, καὶ ὁσίοις τρόποις, ἐν τῷ κόσμῳ σε δοξάσαντος.

*Θεοτοκίον.*

Ἡλίου τοῦ νοητοῦ, ἀκτὶς Μαρία ὑπάρχουσα, καταύγασον μυστικῶς, πιστῶς ἱκετεύομεν, ψυχὰς τὰς τῶν δούλων Σου, τῶν ἀνευφημούντων, εὐλαβῶς τὰ μεγαλεῖά Σου.

Διάσωσον, ὡς παῤῥησίαν πλουτήσας Πάτερ Βαρνάβα, τῶν πονηρῶν βουλευμάτων τοῦ ὄφεως, τοὺς εὐφημοῦντας προφρόνως τὴν βιοτήν σου.

Ἄχραντε, ἡ διὰ λόγου τὸν Λόγον ἀνερμηνεύτως, ἐπ’ ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα δυσώπησον, ὡς ἔχουσα μητρικὴν παῤῥησίαν.

*Κοντάκιον. Ἦχος β΄. Τοῖς τῶν αἱμάτων Σου.*

Ἐν τῷ σπηλαίῳ Βαρνάβα μακάριε, ἀσκητικῶς μετελθὼν βίον κρείττονα, ἐνδόξως Χριστοῦ κατηξίωσαι, τῆς παραστάδος ᾧ πάντοτε πρέσβευε, σωθῆναι τοὺς πίστει τιμῶντάς σε.

Προκείμενον: *Τίμιος ἐναντίον Κυρίου, ὁ θάνατος τοῦ Ὁσίου Αὐτοῦ.*

Στ.: *Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον.*

Εὐαγγέλιον Ὁσιακόν.

Δόξα: *Ταῖς τῶν Σῶν Ὁσίων...*

Καὶ νῦν: *Ταῖς τῆς Θεοτόκου...*

Προσόμοιον. Ἦχος πλ. β΄. Ὅλην ἀποθέμενοι.

Στ.: *Ἐλεῆμον, ἐλέησόν με ὁ Θεός...*

Ὅλην βδελυξάμενος, τὴν κοσμικὴν πραγματείαν, πόνοις τῆς ἀσκήσεως, τῷ Χριστῷ μακάριε συνεσταύρωσαι, ὅθεν πρὸς ἄπονον, μετετέθης λῆξιν, ἐκτελέσας τὸν ἀγῶνά σου, καὶ συνηρίθμησαι, τοῖς τῶν Ἀσωμάτων στρατεύμασι, μεθ' ὧν ἀεὶ προστάτευε, τῇ πανσθενεστάτῳ πρεσβείᾳ σου, τοὺς ἀνευφημοῦντας, ἐν ὕμνοις ἐγκωμίων καὶ ᾠδαῖς,
Πάτερ Βαρνάβα μακάριε, τοὺς ὁσίους τρόπους σου.

*ᾨδὴ ζ΄. Οἱ ἐκ τῆς Ἰουδαίας.*

Συμμαχίᾳ τῇ θείᾳ χάριτός
σου Βαρνάβα ἐνισχυόμενοι, τὴν ξένην ἐν ἀσκήσει, ὑμνοῦμεν βιοτήν σου, καὶ τῷ Κτίστῃ κραυγάζομεν· ὁ τῶν Πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

Ἔχοντές σε προστάτην καὶ ὑπέρμαχον
θεῖον Βαρνάβα Ὅσιε, γεραίρομεν ἐν ὕμνοις, τὸ ἄῤῥητόν σου κλέος, καὶ τῷ Κτίστῃ κραυγάζομεν· ὁ τῶν Πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

Ἱλαρῷ ὄμματί σου ἐφ' ἡμᾶς ὦ Βαρνάβα Πάτερ ἐπίβλεψον, τοὺς πίστει τῇ σεπτῇ σου, προστρέχοντας πρεσβείᾳ, καὶ τῷ Κτίστῃ κραυγάζοντας· ὁ τῶν Πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

*Θεοτοκίον.*

Σωτηρίας τὰς πύλας ἄνοιξόν μοι εὐσπλάγχνως εὐλογημένη ἁγνή, τῷ πίστει προσκυνοῦντι, τὸν ἄφραστόν Σου τόκον, καὶ ἀπαύστως βοῶντί Σοι· χαῖρε Παρθένε σεμνή, Θεὸν ἡ τετοκυῖα.

*Ὠδὴ η΄. Τὸν Βασιλέα.*

Μύρῳ Βαρνάβα, τῆς ἱερᾶς χάριτός σου, δεῦρο μύρισον τὴν τάλαιναν ψυχήν μου, ἵνα σε γεραίρω, πιστῶς ἐν ἐγκωμίοις.

Ὄμβρισον πᾶσι, Πάτερ θεόφρον Βαρνάβα, τοῖς ὑμνοῦσι τὸν οὐράνιόν σου βίον, τοῖς τῆς χάριτός σου, ἐπουρανίοις ὄμβροις

Ὕμνοις τιμῶμεν, τοὺς εὐαγεῖς σου ἀγῶνας, ὦ Βαρνάβα ἐγκαλλώπισμα Ὁσίων, ὅθεν μὴ ἀπώσῃ, ἡμῶν τὰς ἱκεσίας.

*Θεοτοκίον.*

Διάσωσόν με, ἀπὸ κινδύνων παντοίων, καὶ κακώσεων Θεόνυμφε Μαρία, ἵνα Σε δοξάζω, τὴν Κεχαριτωμένη.

*Ὠδὴ θ΄. Κυρίως Θεοτόκον.*

Ἐλέησόν με Σῶτερ, τὸν ἡμαρτηκότα, ταῖς τοῦ Ὁσίου Βαρνάβα ἀσκήσεσι, τοῦ ἐν τῷ κόσμῳ ὁσίως, σὲ μεγαλύναντος.

Χειμῶνα τῶν παθῶν μου, στῆσον ὦ Βαρνάβα, καὶ ἀπαθείας μοι ἔαρ ἀνάτειλον, ὡς παῤῥησίαν πλουτήσας, πρὸς τὸν φιλάνθρωπον.

Ὁ θεῖος ἐν Ὁσίοις, ἔνδοξε Βαρνάβα, τῆς τοῦ βελίαρ με ῥῦσαι χειρώσεως, ἀκαταισχύντῳ δυνάμει, τῆς μεσιτείας σου.

*Θεοτοκίον.*

Ὑπερδεδοξασμένη, Μῆτερ τοῦ Ὑψίστου, τῆς τῶν παθῶν ἀδοξίας με λύτρωσαι, ἀκαταπαύστως ὑμνοῦντα, τὰ μεγαλεῖά Σου.

*Μεγαλυνάρια.*

Ἄξιόν ἐστιν ὡς ἀληθῶς, μακαρίζειν Σε τὴν Θεοτόκον, τὴν ἀειμακάριστον καὶ παναμώμητον καὶ μητέρα τοῦ Θεοῦ ἡμῶν. Τὴν τιμιωτέραν τῶν Χερουβεὶμ καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφεὶμ, τὴν ἀδιαφθόρως Θεόν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον Σὲ μεγαλύνομεν.

Κόσμου τὰ ἐπίκηρα παριδών, ὡς σκιὰν καὶ ὄναρ, εὐηρέστησας τὸν Θεόν, διὰ πολιτείας, ἀσκητικῆς Βαρνάβα, καὶ ὤφθης τῶν Ἀγγέλων, θεῖος συνόμιλος.

Ἔνδον τοῦ σπηλαίου ἀγωνισθείς, τὸν καλὸν ἀγῶνα, ὦ Βαρνάβα τῆς ἀρετῆς, τὰς τοῦ Παρακλήτου, ἐδέξω ἐνεργείας, καὶ ὤφθης μοναζόντων, ἔνθεον καύχημα.

Χαίρει νῦν ἡ Βάσα πνευματικῶς, πρέσβυν σε Βαρνάβα, κεκτημένη πρὸς τὸν Θεόν, καὶ τῶν σῶν λειψάνων, κατέχουσα τὴν κόνιν, λαμβάνει ἀεννάως, θεῖα δωρήματα.

Χαίροις ὁ τῆς Βάσης θεῖος φωστήρ, καὶ τῆς Κύπρου πάσης, ὁ ἀστὴρ ὁ ἀειφανής, χαίροις μοναζόντων, παράδειγμα καὶ τύπος, Βαρνάβα θεοφόρε, Ἀγγέλων σύσκηνε.

Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί, Πρόδρομε Κυρίου, Ἀποστόλων ἡ δωδεκάς, οἱ Ἅγιοι Πάντες μετά τῆς Θεοτόκου, ποιήσατε πρεσβείαν εἰς τό σωθῆναι ἡμᾶς.

*Τὸ Τρισάγιον. Τὰ συνήθη τροπάρια. Εἶτα ὁ Ἱερεύς, τὴν Ἐκτενῆ Δέησιν, ἡμῶν ψαλλόντων τό λιτανευτικόν· Κύριε ἐλέησον. Ὑπὸ τοῦ Ἱερέως Ἀπόλυσις. Καὶ τῶν Χριστιανῶν ἀσπαζομένων τὴν Εἰκόνα καὶ χριομένων δι' ἁγίου ἐλαίου, ψάλλονται τὰ παρόντα Τροπάρια: Ἦχος β'. Ὅτε ἐκ τοῦ ξύλου.*

Θεῖον, σὲ πλουτοῦντες ἀρωγόν, μέγαν βοηθὸν ἐν ἀνάγκαις, καὶ πρεσβευτὴν πρὸς Θεόν, Πάτερ θεοδόξαστε, Βαρνάβα Ὅσιε, ἐγκωμίων τοῖς στέμμασιν, πιστῶς στέφομέν σε, καὶ Χριστὸν δοξάζομεν, τὸν σὲ δοξάσαντα, ὃν ταῖς δραστικαῖς σου πρεσβείαις, ἵλεων ἡμῖν θεοφόρε, τοῖς ἀνευφημοῦσί σε ἀπέργασαι.

Δέσποινα πρόσδεξαι τὰς δεήσεις τῶν δούλων Σου, καὶ λύτρωσαι ἡμᾶς, ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Τὴν πᾶσαν ἐλπίδα μου εἰς Σὲ ἀνατίθημι, Μῆτερ τοῦ Θεοῦ, φύλαξόν με ὑπὸ τὴν σκέπην Σου.

*Δι' εὐχῶν.*

